καὶ ἕως ἐσχάτων ἐκζητήσω αὐτήν.
15 ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς
εὐφράνθη ἡ καρδία μου ἐν αὐτῇ.
ἐπέβη ὁ πούς μου ἐν εὐθύτητι,
ἐκ νεότητός μου ἴχνευον αὐτήν.
16 ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξάμην
καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν.
17 προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ·
τῷ διδόντι μοι σοφίαν δώσω δόξαν.
18 διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτὴν
καὶ ἐζήλωσα τὸ ἀγαθὸν καὶ οὐ μὴ αἰσχυνθῶ.
19 διαμεμάχισται ἡ ψυχή μου ἐν αὐτῇ
καὶ ἐν ποιήσει νόμου διηκριβασάμην.
τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος
καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα.
20 τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτὴν
καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν.
καρδίαν ἐκτησάμην μετ᾽ αὐτῆς ἀπ᾽ ἀρχῆς·
διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ.
21 καὶ ἡ κοιλία μου ἐταράχθη τοῦ ἐκζητῆσαι αὐτήν·
διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα.
22 ἔδωκεν κύριος γλῶσσάν μοι μισθόν μου,
καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν.
23 ἐγγίσατε πρός με, ἀπαίδευτοι,
καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας.
24 τί ὅτι ὑστερεῖσθαι λέγετε ἐν τούτοις
καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφόδρα;
25 ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα
Κτήσασθε ἑαυτοῖς ἄνευ ἀργυρίου.
26 τὸν τράχηλον ὑμῶν ὑπόθετε ὑπὸ ζυγόν,
καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν.
ἐγγύς ἐστιν εὑρεῖν αὐτήν.
27 ἴδετε ἐν ὀφθαλμοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα
καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν.
28 μετάσχετε παιδείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου

$15^1$ ως] εως A† || $17^2$] τω(sic) διδοσιν μοι σοφιαν και δοξαν S*† | μοι > A† || $18^1$ ποιησαι] + με A† || $19^2$ νομου Fr. (cf. 19 20)] λιμου B*S, μου ABc | διηκριβασαμην] -βησ- A†, -βωσ- Bc || $20^2$/$20^3$] tr. B† | $20^2$ καθαρισμω] καιρω θερισμου A† | $20^3$ αυτης] -των BS || $21^1$ του > B || $22^1$ μοι .. μου] tr. S, μου .. μου A || $23^1$ εγγισ.] αινεσατε S*† | $23^2$ αυλισθησεσθαι(pro -θε) SA || $24^1$ τι] και B† | υστερεισθαι pau.] -σθε B, -ρειτε SA (+ η Sc) || $25^2$ (cf. Is. 55 1) εαυτοις] ε > B† || $26^3$ εγγυς] + γαρ S† || $28^1$ παιδειαν BS*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/474 UNIVERSITÄT LEIPZIG